Ἵλαος ὅς τελέθων μερόπεσσι φυῇ δ' ἀγαθός τε (η)
δέχνυται εὐμενέως ἄγχι μολεῦντας ἑοι·
κραίνει τοῖσι δ' ἄμυμον ἐέλδωρ, ἐκ δὲ σαώζει (θ)
τοὺς δε κακῶν πλεόνων, κὰκ θανάτοιο ῥέα.
τῷ ῥα λιταῖς πελάσας ἱκτήρεσι δίζεο πάντων (ι)
δεινῶν τοῦδε βίου σῶν ἀχέων τε λύσιν.
μὴ φρεσὶ διχθαδίῃσι δονεύμενος οἷ' ἀνέμοις ἅλς (κ)
δοιῇ ἑοι πελάσῃς, μὴ κενεός γε νέῃ·
αἴκεν ἀκαμπεῖ δὲ ξὺν πίστι ἐλπίδα τ' ἄρσῃς
ἐμμενὲς ἑδραίην, εὖτε μολὼν ἐ λίτῃ,
καὶ νύκεν ἐμμαπέως τευ ὅγ' ἔκλυε λισσομένοιο
καὶ κέτοι εὐμενέως κρήγυα πάντα πόρεν.
ἦ δὴ γὰρ πολέες προπάροιθε μακάρτατοι ἀνδρῶν (λ)
λάγχανον ἅσσα πόθευν τοὺς προσιόντες ἑοι.
τῷ μὲν Ἐνὼχ πρότερος πεπιθήσας ζωὸς ἀέρθη (μ)
νάσσατό τ' ἐν κλισίῃς ἀϊδίου βιότου.
τοῖο δ' ἐφημοσύνῃσι πιθήσας σώετο Νῶε (ν)
ἄσπετον ὄφρ' ὕδωρ κεῦθεν ἐπιχθονίους.
Πατρίδα δ' Ἄβραμος ἣν τῷ θάρσυνος ἔλιπε γαῖαν (ξ)
γεῖναθ' οἱ ἐν δ' οὐδῷ γήραος ἦα Σάρα,
τοῦ γενεῆς τόσ' ὄπισθε βροτῶν γένε' ἐκγεγάασι (ο),
τείρεα θ' ὅσσα πόλῳ, ψάμμαθος εἶν ἁλί τε.

---

(η) Ψαλμ. ρβ. ρλε. ρμδ. Ἱερεμ. κθ. 12. Ματθ. ζ. 8. (θ) Ψαλμ. λβ. λγ. Ἰωάν. ιε. 7. 15. 24. α. Ἰωάν. γ. 22. ε. 14. (ι) Ψαλ. ριθ. Ματθ. ζ. 7. (κ) Ἰακ. α. 6. 7. Ματθ. ιζ. 20. κα. 21. 22. Μάρκ. 11. 23. 24. Λουκ. ιζ. 6. 19. Ἰωάν. δ. 10. ιδ. 13. (λ) Παύλ. ἐπισ. Ἑβρ. ια. 2. 33. (μ) Γενέσ. δ. 26. (ν) Γενέσ. ς. 13. (ξ) Γενέσ. κ. 16. 4. ιζ. 19. κκ. 3. (ο) Παύλ. ἐπισ. Ἑβρ. ια. 12.